## GRIEGO I. EJERCICIOS DE SINTAXIS GRIEGA. PRIMERA COLECCIÓN

**SERIE 1**

1. ὁ δοῦλος ῥᾴθυμός ἐστιν.
2. ὁ γεωργὸς ἐστιν ἐλεύθερος.
3. ὁ φόβος κακὸς καὶ δεινός ἐστιν.
4. ἐγὼ ἐλεύθερος γεωργός εἰμι.
5. οἱ λόγοι μακροί εἰσιν.
6. ὁ διδάσκαλος χαλεπὸς ἀλλὰ ἀγαθός ἐστιν.
7. οὐ μακρός ἐστιν ὁ βίος.
8. ὁ ἰατρὸς καὶ ὁ διδάσκαλος ἄνθρωποί εἰσιν.
9. κακοί εἰσιν ὁ πόλεμος καὶ ὁ φόβος.
10. οἱ γεωργοί εἰσιν ἐλεύθεροι ἀλλὰ οὐχ οἱ δοῦλοι.
11. ὁ φόβος καὶ οἱ πόλεμοί εἰσι δεινοί.
12. ὁ ὕπνος καὶ ὁ θάνατος ἀδελφοί εἰσιν.
13. ὁ στρατηγὸς καλός ἐστιν ἄνθρωπος.
14. ἆρ᾽ εἰσὶν οἱ δοῦλοι ἐλεύθεροι;
15. ὁ ἀγρὸς μακρός ἐστι καὶ καλός.
16. δίκαιός ἐστι καὶ ἀγαθὸς ὁ ἀδελφός.
17. ὁ λόγος μακρὸς ἀλλὰ καλός ἐστιν.
18. Ἀθηναῖοι καὶ ἐλεύθεροί ἐσμεν.
19. ἆρ᾽ ἐστὲ ἄριστοι στρατηγοί;
20. ῥᾴθυμος διδάσκαλος ἀλλὰ οὐ δοῦλός εἰμι.
21. ἡ ἀδικία κακή ἐστιν.
22. ἡ οἰκία καλὴ καὶ μακρά ἐστιν.
23. αἱ ἀγοραὶ καλαὶ καὶ μακραί εἰσιν.
24. ἡ συμφορὰ δεινή ἐστιν.
25. ἐγὼ καλὴ καὶ ἀγαθή εἰμι.
26. σὺ μικρὰ καὶ θνητὴ εἶ
27. καθαραί ἐσμεν καὶ δίκαιαι.
28. Ἀθηναῖαι καὶ ἐλεύθεραί ἐστε.
29. ἡ Ἀφροδίτη θεά ἐστιν.
30. αἱ Μοῦσαι θεαί εἰσιν.
31. ἡ πονηρὰ ἀδελφή ἐστι καλή.
32. ἡ καλὴ Ἀφροδίτη ἀρίστη θεά ἐστιν.
33. ἡ δίκη ἐστὶν ἀρίστη ἀρετή.
34. αἱ δειναὶ συμφοραὶ κακαί εἰσιν.
35. αἱ μακραὶ ἀγοραί εἰσι καὶ καλαί
36. ἡ ἐλευθερία καὶ ἡ εἰρήνη ἀγαθαί εἰσιν.
37. αἱ ψυχαὶ θνηταί εἰσιν ἀλλὰ ἱεραί.
38. καθαρὰ ψυχὴ καλή ἐστιν.
39. καθαρὰ καρδία καὶ ἀγαθὴ ψυχὴ καλαί εἰσιν.
40. πολλάκις ἡ τύχη οὐ δίκαιά ἐστιν.
41. ἡ τοῦ ἀγαθοῦ ἀνθρώπου τύχη κακή ἐστιν.
42. ἡ σοφία ἀρχὴ τῆς εὐδαιμονίας ἐστι τοῖς βροτοῖς.
43. μακρὰ ἀλλὰ καλή ἐστιν ἡ τῆς σοφίας ὁδός.
44. ἡ αἰτία ἡ τῆς νόσου κακὸς τοῦ ἀνθρώπου βίος ἐστιν.
45. ἡ μουσικὴ καὶ τὰ γραμματικὰ τέχναι εἰσὶ τῇ ψυχῇ ἀγαθαί.
46. τὰ φύλλα τὰ τῶν δένδρων χλωρά ἐστιν.

47. ἆρα εἶ σὺ ἄριστος στρατηγὸς τῶν Ἑλλήνων;
48. τῷ δικαστῇ ἀναγκαῖα ἡ ἀρετή ἐστιν.
49. τὰ ῥόδα τὰ τοῦ πεδίου καλὰ ἦν.
50. τὸ πλοῖον οἰκία ἦν τοῖς ναύταις.
51. ἀθάνατοι καὶ ἱεροὶ οἱ θεοί, θνητοὶ καὶ μικροί οἱ ἄνθρωποι ἐν τῇ Ἑλλάδι ἦσαν.
52. χαλεπὰ ἦν τὰ τῶν δούλων ἔργα.
53. τῷ δικαίῳ πολίτῃ ἡ τῶν ἐκκλησιῶν δόξα ἱερὰ ἦν.
54. οἱ ἄνδρες οἱ κακοὶ πολλάκις ἄδικοί εἰσιν.
55. οἱ θεοὶ οὐ βροτοὶ ἀλλ᾽ ἄμβροτοι ἦσαν.
56. ἡ ἐκκλησία ἡ τῶν Ἀθηναίων ἐλεύθερα καὶ δημοκρατικὴ ἦν.
57. ὁ ἀνὴρ οὐκ ὄλβιός ἐστιν.
58. ἐν ταῖς τῶν Ἀθηναίων ἐκκλησίαις ἡ τοῦ δήμου δόξα ἀεὶ ἐλεύθερά ἐστιν.
59. ἐλεύθερα καὶ καθαρὰ ἡ ψυχὴ ἡ τῶν φιλοσόφων ἐστίν.
60. οἱ τοξόται καὶ οἱ πελτασταὶ στρατιῶται ἦσαν τῆς φάλαγγος.
61. οἱ ναῦται οὐκ ἀπαίδευτοι ἦσαν περὶ τὰ ναυτικά.
62. τὰ τοῦ γεωργοῦ ἔργα πάνυ ἀχάριστα ἦν ἐν τῇ Ἑλλάδι.
63. ἐν τῇ τῶν Ἀθηναίων ἐκκλησίαν ἀναγκαῖαν ἦν ἡ τοῦ πολίτου πειθαρχία.
64. πολλοὶ μὲν τῶν ἀνθρώπων δοῦλοι τῆς ἡδονῆς, ὀλίγοι δὲ τῆς ἀρετῆς.
65. ἡ πόλις καλὴ καὶ εὐδαίμων ἐστίν.
66. τοῖς σοφοῖς ἡ ἀλήθεια ὑγίεια τῆς ψυχῆς ἐστίν.
67. ὁ Ζεὺς τῶν ἀνθρώπων τε καὶ τῶν θεῶν πατὴρ καὶ ἀρχή ἐστιν.
68. ἅπας τύραννος ἐχθρὸς τῇ ἐλευθερίᾳ καὶ τοῖς νόμοις ἐστίν.
69. τὰ τῆς γῆς ἔργα ἀγαθὰ τοῖς πολίταις καὶ τῇ πατρίδι ἐστίν.
70. τίνων εἴσιν οἱ ἵπποι οὗτοι;
71. πόθεν γίγνονται αἱ τοῦ σώματος νόσοι;
72. ὁ θεὸς τῶν καλῶν καὶ τῶν αἰσχρῶν ἀρχή ἐστιν.
73. στρατιῶται οἱ φύλακες οἱ τῆς πόλεως εἰσίν
74. ὁ λύκος τῇ ἀλώπηκι ἐχθρός ἐστιν.
75. ὁ ἄνθραξ ἀρχή ἐστι τοῦ πυρός.
76. αἱ ἀσπίδες φύλακές εἰσι τοῦ σώματος.
77. καλλίστη χώρα τοῦ κόσμου ἡ Ἑλλάς.
78. ἡ Ἑλλάς κοινὴ πατρὶς πάντων τῶν Ἑλλήνων ἐστίν.
79. τάφος τῆς ψυχῆς τὸ σῶμα ἐστίν.
80. πολλάκις τὰ ἐν ταῖς Ἀθήναις πράγματά ἐστιν χαλεπά.
81. οὗτος ὁ ποιμὴν κακοδαίμων ἐστίν.
82. τὸ γένος τὸ τῶν γιγάντων φοβερόν ἐστιν.
83. ἡ τῶν βρωτῶν ὕβρις μεγίστη ἁμαρτία ἐστίν.
84. ζῷον πολιτικὸν φύσει ὁ ἄνθρωπος.
85. ἡμεῖς ἐσμεν φύλακες τῶν νόμων.
86. ἆρ᾽ ἐστε υμεῖς Ἀθηναῖοι στρατιῶται.
87. ὅδε ὁ φείτων ἀνδρειότατος τῶν πολιτῶν ἦν.
88. ταῦτα τὰ μαθήματά σοι μάλα ὠφέλιμα ἦν.
89. οἱ λόγοι οἱ μακροὶ χαλεποί εἰσιν.
90. οἱ ἀδελφοὶ καὶ αἱ ἀδελφαὶ δίκαιοί εἰσι καὶ ἀγαθοί.
91. αἱ ψυχαὶ ἀθάνατοί εἰσιν.
92. οἱ ἄνθρωποι οἱ κακοὶ πολλάκις ἄδικοί εἰσιν.
93. αἱ νόσοι αἱ χαλεπαί εἰσι κακαί.
94. τὰ τῶν στρατιώτων ὅπλα ἐστὶ καλά.
95. ἡ Ἀθηνᾶ τῆς σοφίας καὶ τῆς ἀληθείας θεός ἐστιν.

96. ὁ μὲν πόλεμος πολλῶν κακῶν ἀρχή ἐστιν, ἡ δ' εἰρήνη πολλῶν ἀγαθῶν.
97. τίνος χώρας ἐστὶν οὗτος ὁ στρατηγός;
98. ἡ Γῆ μήτηρ τῶν θεῶν Ὀλυμπίων.
99. τίνος εἰσὶν οὗτοι οἱ ἵπποι;
100. πάντων χρημάτων ὁ ἄνθρωπος μέτρον ἐστίν.
101. πάντων γὰρ κυρία ἡ ἀνάγκη ἐστίν, καὶ τοῦ θεοῦ καὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς καὶ τοῦ ζῴου.
102. οὔκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τὰ ἄλλα ἀγαθὰ τοῖς ἀνθρώποις πάντα.
103. τῶν μὲν Ἑλλήνων ὁ νόμος κύριος ἐστίν, τῶν δὲ βαρβὰρων ὁ τύραννος, τοῦ δὲ τυράννου ὁ φόβος· πάντων γὰρ τῶν ἀνθρώπων κύριος ἔστιν.
104. οἵδε οἱ ἄνδρες δοῦλοι τῶν βασιλέων εἰσίν, ἀλλ' ὁ βασιλεὺς τῶν θεῶν καὶ ὁ θεὸς τῆς ἀνάγκης.
105. ἡ δίκη ἐστὶ τὸ τοὺς φίλους εὖ ποιεῖν καὶ τοὺς ἐχθροὺς κακῶς.
106. τίνων παῖδές εἰσιν οὗτοι;
107. αἱ τῶν παλαιῶν δημοκρατίαι οὐκ ἄδικοι, ἀλλὰ δίκαιοι ἦσαν.
108. ἀθάνατοι μὲν οἱ θεοί ἦσαν, οἱ δὲ ἄνθρωποι θνητοί.
109. τοῦ μὲν ἀγαθοῦ ἀνθρώπου ἡ ἀρετή ἐστιν, τοῦ δὲ σοφοῦ ἡ σοφία.
110. τοῦ δικαίου ἀνδρὸς καὶ τῆς δικαίας γυναικός ἐστι τὰ ἔργα δίκαια.
111. τῷ σοφῷ ἀνθρώπῳ ὁ κόσμος πατρίς ἐστιν.
112. τῷ σοφῷ ἀνδρὶ πᾶσα ἡ γῆ πατρίς· τῆς γὰρ ἀγαθῆς ψυχῆς πατρὶς ὁ ἅπας κόσμος.
113. τρεῖς πολιτεῖαι πᾶσι τοῖς ἀνθρώποις εἰσίν· τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία
114. οἱ νόμοι ψυχὴ τῆς πολιτείας εἰσίν.
115. ἡ ἀρετή ἐστι σὺν μὲν θεοῖς, ἔστι δὲ καὶ σὺν τοῖς ἀνθρώποις τοῖς ἀγαθοῖς.
116. πᾶσι ὁ τύραννος ἐχθρός, τῷ νόμῳ, τῇ δίκῃ, τοῖς θεοῖς, τῇ πόλει, τῷ πολίτῃ.
117. τῷ στρατιώτῃ εἷς μὲν υἱός ἐστι, δύο δὲ θυγατέρες.
118. αἰσχρᾶς ἀπὸ ἀρχῆς γίγνεται τελευτὴ αἰσχρά.
119. τίς βίος ἄνευ ἡδονῆς εὐδαίμων ἐστίν;
120. τίς δὲ βίος, τίς δὲ ἡδονή ἐστιν ἄνευ τῆς Ἀφροδίτης;

## SERIE 2

1. ἐν τῇ καλῇ ἀγορᾷ ἐσμέν
2. ἐν τῇ οἰκίᾳ ὄλβιοί ἐστε
3. ἐν ταῖς Ἀθήναις πολλαὶ μικραὶ ἀγοραὶ εἴσιν.
4. μικρὰ κρήνη ἐν τῇ ἀγορᾷ ἔστιν.
5. ἆρα ἐν καλῇ νήσῳ ἐστέ;
6. οἱ ἰατροὶ καὶ οἱ διδάσκαλοι ἐν τῇ Σπάρτῃ εἰσίν.
7. ἦν ἐν ταῖς τῶν διδασκάλων οἰκίαις πολλὰ βιβλία τῇ ψυχῇ ἀγαθά.
8. ἔστιν ἐν ταῖς τῶν ιατρων οἰκίαις φάρμακα ταῖς νόσοις ἀγαθά.
9. ἐν ταῖς Ἀθήναις πολλοὶ ποιηταί τε καὶ φιλόσοφοι καὶ στρατηγοὶ καὶ ἰατροί.
10. ἔστιν ἐν τοῖς σώμασι αἷμα, σάρξ καὶ ὀστέα.
11. ἔστιν ἐν τοῖς λιμέσι πλοῖα καὶ ναῦται.
12. ἔστιν ἐν πάσαις ταῖς ψυχαῖς ἐλπὶς ἀθανάτου βίος.
13. ὁ Ἀήρ ἐστιν ἐν παντὶ τῷ κόσμῳ, ἐν τῇ θαλάττῃ, ἐν τῇ γῇ, ἐν Ἀθήναις, ἐν Δελφοῖς, ἐν Σικελίᾳ, ἐν ταῖς πόλεσι πάσαις, ἐν ταῖς οἰκίαις πάσαις, ἐν τοῖς ἀνδράσι πᾶσι καὶ ἐν ταῖς γυναιξὶ πάσαις καὶ ἐν τοῖς ζῴοις πᾶσι· ὁ γὰρ Ἀὴρ ἐν πᾶσι τοῖς τόποις ἐστὶ καὶ παντα ἐξ ἀνάγκης γιγνώσκει.

## SERIE 3

1. εἰς τὸ δικαστήριον ὁ δικαστὴς ταχέως βαίνει.
2. ἐκ τῆς οἰκίας φεύγει ὁ κλέπτης.
3. τό τοῦ κυβερνήτου πλοῖον πρὸς τὰς ᾿Αθήνας βραδέως πλεῖ.
4. οἱ πολῖται ἐκ τοῦ δήμου πρός τὰς Αθήνας ὄλβιοι βαδίζουσιν.
5. τὰ παιδία τὰ τοῦ στρατηγοῦ ἀπὸ τῶν ᾿Αθηνῶν ἀποβαίνει.
6. οἱ ναῦται εἰς τὴν νῆσον πλέουσιν.
7. τὰ μειράκια ἔτρεχε ἐκ τῆς ἀγορᾶς εἰς τὴν οἰκίαν.
8. τὰ τῶν ναυτῶν παιδία ἀπὸ τοῦ πλοίου ἀποχωροῦσιν.
9. τὸ παιδίον τὸ τοῦ ποιητοῦ εἰς τοὺς τοῦ γεωργοῦ κλήρους ἔβαινε.
10. πρὸς τὴν τοῦ ἰατροῦ οἰκίαν ἔφευγε τὰ παιδία τὰ τοῦ ναύτου.
11. ὁ ἔνδοξος δικαστὴς εἰς τὸ δικαστήριον ἔρχεται.
12. μάχονται οἱ πολῖται ὑπὲρ τῆς πατρίδος καὶ τῆς ἐλευθερίας.
13. τὰ παιδία εἰς τὴν οἰκίαν ἔρχεται.
14. πολλοὶ μὲν πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται· ἀλλ᾿ ὁ Σώλων οὐκ ἐπιθυμεῖ τοῦ πλούτου ἀντὶ ἀρετῆς.
15. τὰ τῶν θεῶν δῶρα μένει τοῖς ἀνθρώποις εἰς ἀεί.
16. ὁ ὁπλίτης ἥσυχος μένει πρὸς ταῖς ναυσί.
17. οἱ γέροντες οὐκ ἀπέχουσιν τοῦ θανάτου ὁδὸν μακρὰν.
18. ἐν δὲ τῷ πρὸς τοὺς Πέρσας πολέμῳ οἱ Αθηναῖοι ἄνευ φόβου ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μάλιστα μάχονται ἐν τῇ γῇ τε καὶ τῇ θαλάττῃ.
19. ὁ μὲν Ποσειδῶν τοῦ ὕδατος τε καὶ τῶν ποταμῶν καὶ τῆς θαλάττης βασιλεύς ἐστιν, ὁ δὲ Ζεὺς παντὸς τοῦ κόσμου βασιλεύει.
20. οἱ μὲν θεοὶ ἀθάνατοι τῶν ἀνθρώπων βασιλεύουσιν, ἡ δὲ ἀνάγκη τῶν θεῶν.
21. οἱ μὲν φιλόσοφοι εἰς τὰς τῶν πλουσίων οἰκίας ἔρχονται, οἱ δὲ πλούσιοι εἰς τὰς τῶν φιλοσόφων οὐκέτι.
22. ἡ ὁδὸς καλὴ καὶ ἀγαθή· τῇ δὲ ὑστεραίᾳ εἰς τὴν πόλιν ἀφικνούμεθα.
23. πέντε μὲν ἡμέρας ἐν τῇ πόλει μένομεν, τέλος δὲ πρὸς τὴν Σπάρτην ἐπανερχόμεθα.
24. πορεύομαι πρὸς τὸν τοῦ ἀδελφοῦ κλῆρον.
25. τῶν ἀνθρώπων οἱ μὲν πρὸς τῇ ὁδῷ ἀναπαύονται, οἱ δὲ αὖθις πορεύονται μετὰ τῶν ἑταίρων.
26. πῶς ἐκφεύγει ὁ Θησεὺς ἐκ τοῦ λαβυρίνθου;
27. μένουσι μετὰ τῶν φίλων οἱ μαθηταὶ πρὸς τῇ τοῦ διδασκάλου οἰκίᾳ

## SERIE 4

1. ὁ λίμος διώκει τὸν ῥᾴθυμον δοῦλον.
2. τὴν μουσικὴν μανθάνω και τὴν ῥητορικήν.
3. ἡ ἐκκλεσία φυλάττει τοὺς τοῦ δήμου νόμους
4. ἡ ἀσέβεια φέρει τὴν συμφορὰν τοῖς πολίταις.
5. ὁ ποιμὴν λίθους βάλλει ἐπὶ τοῦτον τὸν λύκον.
6. ὁ πατὴρ λείπει τὸν παῖδα ἐν τῷ λιμένι.
7. ὁ λέων ἀποκτείνει πάντα τὰ ζῶα.
8. οἱ θεοὶ καὶ αἱ θεαὶ πάντα γιγνώσκουσιν.
9. τὸν φόβον τὸν τοῦ στρατιώτου νικᾷ ἡ τοῦ στρατηγοῦ ἀρετὴ ἐν ταῖς μάχαις.
10. ἡ ἀρετὴ ἡ τῶν στρατηγῶν σῴζει τὸν βιον τὸν τοῦ ἄρχοντος.
11. ὁ ἰατρὸς φάρμακα ἀγαθὰ τοῖς πολίταις παρέχει.

12. τίσιν ἄγουσι οἱ δοῦλοι τούτους τοὺς ἵππους;
13. ὁ ἀθλητὴς βιβλίον κλέπτει ἐν τῇ τοῦ ἰατροῦ οἰκίᾳ.
14. πέμπομεν τοὺς δούλους πρὸς τὴν τοῦ δικαστοῦ οἰκίαν.
15. ὁ βάτραχος τὴν μύρμηκα σῴζει ἐν τῷ ποταμῷ.
16. ὁ σοφὸς ἄνθρωπος τὴν ἀρετὴν διώκει καὶ τὴν ἀδικίαν φεύγει.
17. ὁ θεὸς κακὴν τύχην τῷ κακῷ ἀνθρώπῳ φέρει.
18. ἡ τῶν στρατηγῶν ἀρετὴ τὴν σωτηρίαν τῷ δήμῳ παρέχει.
19. ὁ θεὸς κολάζει τὰς τῶν βροτῶν ἁμαρτίας.
20. οἱ τῆς ἐκκλεσίας νόμοι τὸν βίον τὸν τῶν πολιτῶν φυλάττουσιν.
21. παῖς τις τὸν κύνα ἐκ τοῦ ἀγροῦ ἐξάγει.
22. ὁ κακὸς δικαστὴς κλέπτει τὸν θεσαυρὸν τὸν τῆς γυναικός.
23. ὁ φόβος κακὸν καρπὸν τοῖς ἀγαθοῖς ἀνθρώποις φέρει.
24. οἱ γεωργοὶ τὰ δῶρα λαμβάνουσι καὶ φέρουσιν αὐτὰ εἰς τόν οἶκον.
25. ἐπιστολὰς πέμπει τοῖς πολεμίοις κακὸς Ἀθηναῖος.
26. οἱ δοῦλοι τὸ ἄροτρον φέρουσιν εἰς τὸν ἀγρόν.
27. οἱ ἰατροὶ πολλὰ φάρμακα γιγνώσκουσιν ἀγαθὰ τῷ σώματι.
28. τὰ παιδία βιβλίον κλέπτει καὶ αὐτὸ κρύπτει ἐν τῷ τοῦ διδακάλου οἴκῳ.
29. ἡ γυνὴ ἐπιστολὴν γράφει τῷ ἀνδρί.
30. τοὺς πονηροὺς ἀνθρώπους ὁ νόμος διώκει.
31. ὁ στρατιώτης λείπει τὴν ἀσπίδα ἐν τῷ πεδίῳ.
32. ἡ ἀλήθεια καλοὺς καρποὺς τοῖς πολίταις παρέχει.
33. ὁ ἀνὴρ τὸ βιβλίον ὁρᾷ.
34. ἡ ἀδικία πολλάκις διώκει τὸν δίκαιον πολίτην.
35. τὰ ἀγαθὰ δένδρα τοῦ πεδίου ἀγαθοὺς καρποὺς τοῖς γεωργοῖς ἔφερε
36. καλὰ τὰ τοῦ ναύτου παιδία ποιεῖ τοῖς ἀδελφοῖς.
37. οἱ παῖδας τόν τε πατέρα καὶ τὰς ἀδελφὰς καλοῦσιν.
38. ἡ παιδεία διώκει τὴν εὐδαιμονίαν τὴν τῶν ἀνθρώπων.
39. ὁ κακὸς διδάσκαλος βιβλίον λαμβάνει καὶ φέρει αὐτὸ εἰς τὴν οἰκίαν.
40. οἱ νόμοι καὶ οἱ δικασταὶ τὸν τῶν πολιτῶν βίον φυλάττουσιν.
41. ὁ νόμος ὁ τῆς πόλεως φυλάττει τὰ τῶν πολιτῶν παιδία.
42. ὁ βασιλεὺς ἄγγελον πέμπει πρὸς τὰς Ἀθήνας.
43. οἱ μὲν πολλοὶ τὴν εἰρήνην, οἱ δ᾽ ὀλίγοι τὸν πόλεμον διώκουσιν.
44. ἡ νῆσος πάντα παρέχει τῷ γεωργῷ.
45. ὁ πολίτης γιγνώσκει τοὺς τῆς ἐκκλεσίας νόμους.
46. ἆρ᾽ ἀληθῶς τοὺς τοῦ Ὀδυσσέως ἑταίρους ὁ Κύλωψ ἀποκτείνει;
47. νομίζομεν μὲν ἀγαθοὺς τοὺς θεούς, κακοὺς δὲ τοὺς ἄνδρας.
48. ὁ στρατιώτης ἐπιστολὴν γράφει τῷ φίλῳ.
49. ὁ θεὸς κολάζει τὰς τῶν βροτῶν ἁμαρτίας.
50. οἱ φιλόσοφοι τὸ δίκαιον καὶ τὸ ἄδικον, τὸ ἀγαθὸν καὶ τὸ κακὸν γιγνώσκουσιν.
51. οἱ ἀθαθοὶ στρατηγοὶ διώκουσιν ἀεὶ τὴν εἰρήνην.
52. πάντες ὁμοίως οἱ πόλεμοι κακὰ φέρουσι πολλά.
53. οἱ φιλόσοφοι γιγνώσκουσι τὴν δίκην καὶ τὴν ἀρετήν.
54. ὁ ἰατρὸς οὐ γιγνώσκει τὰς τῆς νόσου αἰτίας.
55. εὑρίσκομεν τὸν τοῦ πατρὸς θεσαυρὸν ἐν τῇ ἀμπέλῳ.
56. ἡ κακὴ τύχη κακοὺς καρποὺς φέρει τῷ ἀγαθῷ ἀνθρώπῳ.
57. οἱ ἀγαθοὶ τὰς ἀρετὰς πράττουσιν.
58. τοὺς θεοὺς τιμῶμεν καὶ μάλιστα τὴν Ἀφροδίτην.
59. οἱ κήρυκες τοὺς κλέπτας ζητοῦσι, ἀλλὰ οὐχ εὑρίσκουσιν αὐτούς.
60. οἱ Ἕλληνες ἀεὶ τὰ τῶ πολιτῶν σώματα ὑπὸ τῆς γῆς ἔφερον καὶ ἐκεῖ ἔλειπον.

61. μέγας κίνδυνος τοὺς Ἀθηναίους διώκει.
62. πρὸς τὸ δικαστήριον ἐλαύνει τὸν κλέπτην ὁ τοῦ στρατηγοῦ δοῦλος.
63. οἱ στρατιῶται ἄγουσι τοὺς κλέπτας πρὸς τὸ δικαστήριον.
64. ὁ δεσπότης φέρει τὸ δεῖπτον τοῖς δούλοις
65. ἐν τῷ δικαστηρίῳ οἱ δικασταὶ τοὺς ἀδίκους κολάζουσι.
66. ἀνήρ τις καλοὺς μύθους λέγει τοῖς παισί.
67. ὁ τοῦ ποιητοῦ ἀδελφὸς τοὺς τῆς ἐκκλησίας νόμους οὐκ ἐγίγνωσκε.
68. ἐν τῷ πολέμῳ διώκω ἀεὶ τὴν σωτηρίαν.
69. οἱ στρατιῶται παρέχουσι τὴν ἐλευθερίαν τοῖς νήσοις.
70. οἱ πολῖται γιγνώσκουσι τὴν συμφορὰν τὴν τοῦ δήμου.
71. τὰ ζῷα τὸ τοῦ ἡλίου φῶς διώκει.
72. πολὺν οἶνον πίνεις ἐν τοῖς τῶν Ἀθηνῶν οἰνοπολίοις.
73. οὐχ εὑρίσκω τὴν ἀλήθειαν ἐν τῇ τῶν ἀνθρώπων καρδίᾳ.
74. ἔφερε ὁ τῶν ἐκκλησιῶν νόμος ἀγαθὰ τοῖς τοῦ δήμου πολίταις.
75. οἱ θεοὶ τὸν βίον τὸν τῶν ἀνθρώπων γιγνώσκουσιν.
76. ποιοῦσιν οἱ τῆς ἐκκλησίας νόμοι καλὰ καὶ ἀγαθὰ τοῖς πολίταις.
77. τὴν εἰρήνην καὶ τὴν τοῦ δήμου εὐδαιμονίαν διώκομεν.
78. ἆρ᾽ ὁρᾷς τὴν οἰκίαν τὴν τοῦ ἀνθρώπου;
79. ἡ φιλοσοφία ἀγαθοὺς καρποὺς τοῖς ἀνθρώποις φέρει.
80. ἐν ταῖς μάχαις τοὺς πολεμίους νικᾶτε τῇ ἀρετῇ.
81. οἱ βάρβαροι τοὺς νόμους ἐγίγνωσκον, ἀλλ᾽ οὐ τοὺς τῆς ἐλευθερίας καρπούς.
82. οἱ διδάσκαλοι κολάζουσι τοὺς κακοὺς παίδας.
83. ὦ κακὴ τύχη, τὸν ἀγαθὸν ἄνθρωπον διώκεις.
84. τὰ καλὰ δένδρα ἀγαθοὺς καρποὺς φέρει.
85. ἥδε ἡ πόλις καλοὺς νόμους ἔχει.
86. οἱ σοφισταὶ τὰ μαθήματα τοὺς μαθητὰς ἐδίδασκον.
87. πολλοὶ ποταμοὶ ἐκ τῆς γῆς εἰς τὴν θάλατταν φέρουσι τὸ ὕδωρ.
88. καὶ οἱ Ἕλληνες καὶ οἱ βάρβαροι διώκουσιν τὴν ἐλευθερίαν.
89. οἱ Λακεδαιμόνιοι οὐ γιγνώσκουσι τὸν τῆς καλῆς παιδείας καρπόν.
90. τὰ δένδρα παρέχει πολλοὺς καρποὺς τῷ γεωργῷ.
91. οἱ θεοὶ σῴζουσι τοὺς ἀγαθοὺς ἀνθρώπους.
92. ὁ μὲν δίκαιος τὰ δίκαια πράττει, ὁ δ᾽ ἄδικος τὰ ἄδικα.
93. οἱ μαθηταὶ τὰ γραμματικὰ μανθάνουσιν ἐν τῇ ἀγορᾷ.
94. ἐπιστολὰς ἔγραφον καὶ δῶρα ἔπεμπον οἱ τῶν γεωργῶν δοῦλοι τῷ ἀρίστῳ ποιητῇ.
95. ὁ φόβος διώκει τοὺς πονεροὺς ἀνθρώπους.
96. οἱ θεοὶ πάντα γιγνώσκουσιν.
97. καθαρὰ γλῶττα πολλὰ καλὰ λέγει.
98. οἱ βάρβαροι οὐ γιγνώσκουσι τοὺς τῆς ἐλευθερίας καρπούς
99. πρὸς τὰς Ἀθήνας ἄγουσιν οἱ στρατηγοὶ τοὺς ἀρίστους στρατιώτας.
100. ὁ βασιλεὺς τοὺς Ἀθηναίους στρατιώτας ἀποκτείνει ἐν τῇ μάχῃ.
101. ἡ κακὴ τύχη διώκει τοὺς πονεροὺς ἀνθρώπους.
102. οἱ στρατιῶται μανθάνουσι τῆς τῶν ἀθλητῶν τέχνης.
103. οἱ Ἕλληνες τὸν Ὅμηρον σοφὸν νομίζουσιν.
104. τὰ ἀγαθὰ βιβλία ἔφερε τοῖς νέοις ἀγαθοὺς καρπούς.
105. κολάζετε τὴν ἀδικίαν τὴν τῶν κακῶν ἀνθρώπων.
106. μακρὰν ἐπιστολὴν γράφουσιν οἱ στρατηγοὶ τοῖς στρατιώταις τοῖς τῶν Ἀθηνῶν.
107. ὦ πολῖτα, ἆρ᾽ οὐκ ἐγίγνωσκες τὴν τῆς ἐκκλησῖας δόξαν;
108. ὁ σοφὸς τὴν πενίαν οὐ φεύγει, ἀλλὰ τὴν ἀδικίαν.

109. πρὸς τὸ δικαστήριον ἐλαύνουσιν οἱ δεσπόται τοὺς κακοὺς δούλους
110. οἱ διδάσκαλοι διδάσκουσι τοὺς παίδας τὰ γραμματικὰ καὶ τὴν μουσικήν.
111. τίνας ἀνθρώπους σῴζουσιν οἱ θεοὶ ἐν τῷ πολέμῳ;
112. πολλοὶ ἄνθρωποι διώκουσιν ἐν τῷ βίῳ τὴν ἀλήθειαν καὶ τὴν δίκην.
113. οἱ ἄνθρωποι πολλὰ γιγνώσκουσιν.
114. ἆρ᾽ οὐχ ὁρῶμεν ἐν τῷ τῶν ἀνθρώπων βίῳ τοὺς τῆς ἀγαθῆς τύχης καρπούς;
115. ἀγαθὸς δικαστὴς τὴν ἀδικίαν διώκει.
116. παρέχετε τὴν σωτηρίαν τῇ Ἑλλάδι.
117. τὸν μὲν βίον διώκουσι πάντες οἱ ἄνθρωποι, τὸν δὲ θάνατον φεύγουσιν.
118. ὁ ἀγαθὸς ἄνθρωπος κακὴν τύχην ἔχει.
119. οἱ ἀθληταὶ τὴν νίκην διώκουσιν ἐν Ὀλυμπίᾳ.
120. φέρε μοι τὸ ἄροτρον καὶ ἔκβαινε βραδέως τοὺς βοῦς ἐκ τῶν αγρῶν.
121. κολάζει ὁ βασιλεὺς τὸν κακὸν δοῦλον.
122. οἱ ἀγροὶ παρέχουσι πολὺν σῖτον τοῖς γεωργοῖς.
123. οἱ νόμοι τὸ δίκαιον καὶ τὸ καλὸν διώκουσιν.
124. ὦ ἐκκλησία, τὰ τῶν πολίτων βουλεύματα εὖ ἐγίγνωσκες.
125. ἡ μήτηρ φιλεῖ καὶ τὸν κακὸν παῖδα.
126. μὴ φοβεῖτε τοὺς πονηροὺς, ὦ πάτερ.
127. παρέχομεν πολλὰ χρήματα τῇ βουλῇ.
128. οἱ Λακεδαιμόνιοι οὐ γιγνώσκουσι τὸν τῆς καλῆς παιδείας καρπόν.
129. ἡ Ἑλλὰς πολλὰς χώρας ἔχει· αἱ μὲν μεγάλαι, αἱ δὲ μικραί
130. οὗτος ὁ στρατιώτης ἐπὶ τῆς κεφαλῆς τὴν ἀσπίδα φέρει.
131. οἱ Ἀθηναῖοι τὸν Εὐριπίδην νομίζουσι τοῦ Ἀναξαγόρου μαθητήν.
132. τρεῖς μὲν ἡμέρας τὰ ἐν τῇ Ἀκροπόλεως θεᾶται, τέλος δὲ κατὰ τὴν ἀγορὰν καταβαίνει
133. οἱ φιλόσοφοι τὴν σοφίαν καὶ τὴν ἀρετὴν διώκουσιν.
134. ἡ Ἀρκαδία χώρα τῆς Πελοποννήσου ἐστὶ καὶ τοὺς ἀρίστους ἵππους τῆς Ἑλλάδος ἔχει.
135. ὁ πόλεμος πάντων πατήρ ἐστιν, πάντων βασιλεύς, καὶ τοὺς μὲν ποιεῖ δούλους, τοὺς δ᾽ ἐλευθέρους.
136. μάλιστα γιγνώσκεις τὴν τοῦ ἀθλητοῦ οἰκίαν.
137. ἐν τῇ Ἑλλάδι μάχονται οἱ Πέρσαι καὶ οἱ δαίμονες αὐτοὺς κολάζουσιν.
138. ἆρ᾽ οὐ γιγνώσκεις τὴν ἀδικίαν τὴν τῆς βουλῆς;
139. ἐν τῷ θεάτρῳ τὰς τῶν ποιητῶν τραγῳδίας θεῶνται.
140. αἱ γυναίκες πολλὰ καλὰ ποιοῦσιν.
141. ὁ θάνατος εἰς τὴν γῆν φέρει γῆν.
142. τῇ ὑστεραίᾳ ἡ γυνὴ πολλὰ τῷ ἀνδρὶ λέγει.
143. οἱ γὰρ θεοὶ ἐκ τῆς γῆς καὶ τοῦ ὕδατος τοὺς ἀνθρώπους ποιοῦσιν.
144. οἱ πολέμιοι τοὺς Ἀθηναίους θεοὺς οὐκ ἐτίμων καὶ ἡμᾶς ἐμίσουν.
145. ἡ τῶν Ἀθηναίων πόλις Ἀθῆναι ἐστὶ καὶ τοὺς ἀρίστους ἵππους τῆς Ἑλλάδος ἔχει.
146. τὰ μικρὰ ζῷα τοὺς λέοντας θεῶνται ἐν τῷ ἀγρῷ.
147. διδάσκομεν τοὺς πολίτας τὴν ἀρετὴν.
148. τῶν ἀνδρῶν οἱ μὲν μεγάλοι, οἱ δὲ μικροί· ἀλλὰ ὁ θεὸς πολλάκις τοὺς μὲν μικροὺς μεγάλους, τοὺς δὲ μεγάλους μικροὺς ποιεῖ.
149. ἐπιστολὰς ἔγραφον καὶ δῶρα ἔπεμπον οἱ τῶν γεωργῶν δοῦλοι τῷ ἀρίστῳ ποιητῇ τῆς Ἑλλάδος.
150. ἡ γυνὴ τὰ γραμματικὰ οἶδε.
151. οὐ γιγνώσκομεν τὸ τῆς κόρης ὄνομα.
152. αἱ γυναῖκες τὸν μὲν παῖδα ἐν τῷ κλήρῳ λείπουσιν, ταῖς δὲ κόραις πρὸς τὸ

ἄστυ ἡγοῦνται.

153. οἱ διδάσκαλοι τῷ μαθητῇ οὐδὲν βιβλίον παρέχουσιν.

154. αἱ γυναῖκες τοῖς ἀνδράσι πείθονται καὶ οἱ δὲ σῖτον πᾶσι παρασκευάζουσιν.

155. οἱ ἄρχοντες δέχονται τὸν τῶν Λακεδαιμονίων πρεσβευτήν

156. ἐν τῇ Ἑλλάδι ὀλίγοι οἱ ποταμοί εἰσιν καὶ οὐ πολὺ ὕδωρ φέρουσιν.

157. ἡ ἀνάγκη καὶ ἀνδράσι καὶ γυναιξὶ κακὸν τίκτει καὶ ἀγαθόν.

158. οἱ νόμοι τὸ δίκαιον καὶ τὸ καλὸν βούλονται καὶ τοῦτο διώκουσιν.

159. Πυθαγόρας ὁ φιλόσοφος τὴν μεγάλην δόξαν ἔχει καὶ πολλοὺς μὲν λαμβάνει μαθητὰς ἐκ τῶν πόλεων τῆς Ἑλλάδος, οὐ μόνον ἄνδρας καὶ γυναῖκας, πολλοὺς δὲ ἀπὸ τῆς τῶν βαρβάρων χώρας.

160. ὁ Ἀναξαγόρας Ἰωνικὸς φιλόσοφος ἐστιν· ὁ δ᾽ Ἀρχέλαος ὁ Μιλήσιος, μαθητὴς τοῦ Ἀναξαγόρου, ἀπὸ τῆς Ἰωνίας χώρας τὴν φιλοσοφίαν εἰς τὰς Ἀθήνας φέρει.

161. Οἱ σοφοὶ γιγώσκουσι τὸν ἄνδρα δίκαιον ἐκ τῶν ἔργων, ἀλλ᾽ οὐκ ἐκ τῶν λόγων· πολλοὶ γὰρ εὖ λέγουσιν, τὰ δ´ ἔργα ἔχουσι κακά.